UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

Theodoretus <Cyrrhensis>

Mogvntiae, 1679

VI. Quomodo Timotheus Aelurus, Alexandrino Episcopatu recuperato, Ephesiorum Ecclesiae jus Patriarchicum restituit, & Chalcedonensem Synodum anathematizavit.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A ἕτερα, διαμαρτυρόμεθα ἐνώπιον τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ, ἐλευθέραν τὴν ὑμετέραν εὐσέβειαν εἶναι δεόμεθα τῆς ἐπενεχθείσης αὐτοῖς δικαίας καὶ κανονικῆς καὶ ἐκκλησιαστικῆς καταχρήσεως καὶ καθαιρέσεως, καὶ μάλιστα τῷ τὴν βασιλεύουσαν οὐχ ὁσίως ἐπισκοπεῖν διὰ πολλὰ φωραθέντι. ὁ αὐτὸς ζαχαρίας καὶ τάδε πρὸς ῥῆμα γράφει· ὡς τῶν ἐγκυκλίων καὶ βασιλικῶν γραμμάτων ἐκδοθέντων, οἱ τὴν εὐτυχοῦς φαντασίαν νοσοῦντες ἀνὰ τὴν βασιλεύουσαν, καὶ τὸν μονήρη διώκοντες βίον, ὥσπερ ἑρμαίῳ τινὶ περιτυχεῖν οἰηθέντες τιμοθέῳ, καὶ τοῖς ἐγκυκλίοις B τὸ ἴδιον θηρεῦσαι ἐλπίσαντες, δρομαῖοι παρ' αὐτὸν ἀφικνοῦνται· καὶ ὡς διελεγχθέντες πρὸς τιμοθέου ὁμοούσιον ἡμῖν εἶναι κατὰ σάρκα τὸν τοῦ θεοῦ λόγον, καὶ τῷ πατρὶ ὁμοούσιον κατὰ τὴν θεότητα, ἐς τοὔπισω ἀνεχώρουν.

A interjectis. Proteſtamur coram Servatore noſtro Jeſu Chriſto; liberam eſſe pietatem veſtram rogamus, ab ea, quæ illis irrogata eſt, juſtâ & canonicâ & Eccleſiaſticâ condemnatione ac depoſitione: præſertim verò ab ea, quæ irrogata eſt ei, qui per multa facinora deprehenſus eſt regiæ urbis Epiſcopatum non ritè adminiſtrare. Cæterum idem Zacharias hęc etiam ſcribit ad verbum. Simul atque editæ ſunt Encyclicæ atque imperiales litteræ, eos qui Eutychis phantaſiam in urbe regia ſectabantur, & Monaſticum vitæ genus profitebantur, cum inſperatum quoddam lucrum B ſibi obveniſſe in Timotheo, & per Encyclicas litteras maximam ſe utilitatem percepturos eſſe, ſperarent celeri curſu ad Timotheum ſe contuliſſe. Cumque à Timotheo convicti eſſent, Verbum Dei nobis quidem conſubſtantiale eſſe ſecundùm carnem: Patri verò conſubſtantiale quoad divinitatem, eos ad ſua rediiſſe.

Κεφ. ϛ'.

Ὡς τοῦ αἰλούρου τιμοθέου τὴν ἀλεξανδρείαν ἀπολαβόντος, καὶ τῇ ἐφεσίων τὸ πατριαρχικὸν δίκαιον ἀποδόντος, ἀναθέματι τὴν ἐν χαλκηδόνι σύνοδον καθυπέβαλεν.

Ὁ Αὐτός φησι τὸν τιμόθεον ἐξορμήσαντα τῆς βασιλίδος, τὴν ἐφεσίων καταλαβεῖν, ἐνθρονίσαι τε τὸν παῦλον ἀρχιερέα τῆς ἐφεσίων. ὃς ἤδη κεχειροτόνητο μὲν ἀνὰ τὴν ἀρχαιοτέραν συνήθειαν ὑπὸ τῶν τῆς ἐπαρχίας ἐπισκόπων, ἐκπεπτώκει δὲ τοῦ θρόνου. ἀποδίδωσι δὲ τῇ ἐφεσίων, καὶ τὸ πατριαρχικὸν δίκαιον, ὅπερ αὐτὴν ἀφεῖλεν ἡ ἐν χαλκηδόνι σύνοδος, ὥς μοι λέλεκται· ἐκεῖθεν δὲ ἀπάρας, ἀνὰ τὴν ἀλεξανδρέων ἀφικνεῖται, καὶ τοὺς προσιόντας ἀπαιτῶν ἀναθεματίζειν τὴν ἐν χαλκηδόνι σύνοδον, οὕτω διετέλει. ἀποπηδῶσι δ' οὖν παρ' αὐτοῦ ἐκ τῆς κατ' αὐτὸν μοίρας ὡς τῷ αὐτῷ ζαχαρίᾳ ἱστόρηται, ἄλλοι τε πολλοὶ, καὶ θεόδοτος εἷς τῶν ὑπὸ θεοδοσίου ἀνὰ τὴν ἰόππην κεχειροτονημένων, τοῦ τῆς ἱεροσολύμων ἐπισκόπου πρός τινων γεγονότος, ὅτε πρὸς τὸ βυζάντιον ἰουβενάλιος ἀνέδραμεν.

Cap. VI.

Quomodo Timotheus Ælurus Alexandrino Epiſcopatu recuperato, Epheſiorum Eccleſiæ jus Patriarchicum reſtituit, & Chalcedonenſem Synodum anathematizavit.

C IDem Zacharias ait Timotheum Conſtantinopoli digreſſum, in Epheſiorum urbem veniſſe, atque illic Paulum in Archiepiſcopali ſede collocaſſe. Qui cum jam prius ab Epiſcopis illius provinciæ juxta antiquiorem conſuetudinem ordinatus fuiſſet, ſede ſua exciderat. Reddidit etiam Timotheus Epheſinæ Eccleſiæ jus Patriarchicum, quod illi ademptum fuerat à Chalcedonenſi Synodo, uti ſupra commemoravi. Illinc profectus, Alexandriam venit, & à cunctis ipſum adeuntibus, ut Chalcedonenſem Synodum ſub anathemate damnarent, exigere perſeveravit. Receſſerunt tamen ab eo, tum alii complures ejuſ- D dem factionis, ſicut à Zacharia proditum eſt, tum Theodotus Epiſcopus Joppæ, unus ex eorum numero, qui ordinati fuerant à Theodoſio illo, qui Hieroſolymorum Epiſcopus à quibusdam factus fuerat, cum Juvenalis Conſtantinopolim profectus eſſet.